τό, σοῦ μακρὰ λέγοντος, καὶ μὴ ἐθέλοντος τὸ ἐρωτώμενον ἀποκρίνεσθαι, οὐ δεινὰ ἂν r) ἐγὼ πάθοιμι εἰ μὴ ἐξέςαι μοι ἀπιέναι καὶ μὴ ἀκούειν σου; ἀλλ᾽ εἴτι μήδει s) του λόγου τοῦ εἰρημένου, καὶ ἐπανορθώσασθαι αὐτὸν βούλει, ὥσπερ νῦν δὴ ἔλεγον, ἀναθέμενος ὅ, τι σοὶ δοκεῖ, ἐν τῷ μέρει ἐρωτῶν τε καὶ ἐρωτώμενος, ὥςπερ ἐγώ τε καὶ Γοργίας, ἔλεγχέ τε καὶ ἐλέγχου. Φὴς γὰρ δήπου καὶ σὺ ἐπίςασθαι ἅπερ Γοργίας, ἢ οὔ; ΠΩΛ. Ἔγωγε. ΣΩ. Οὐκοῦν καὶ σὺ κελεύεις σεαυτὸν t) ἐρωτᾷν ἑκάςοτε ὅ, τι ἄν τις βούληται, ὡς ἐπιςάμενος ἀποκρίνεσθαι. ΠΩΛ. Πάνυ μὲν οὖν. ΣΩ. Καὶ νῦν δὴ τούτων ὁπότερον βούλει ποίει· ἐρώτα, ἢ ἀποκρίνου. ΠΩΛ. Ἀλλὰ ποιήσω 17
ταῦτα. καί μοι ἀπόκριναι a), ὦ Σώκρατες. ἐπειδὴ Γοργίας ἀπορεῖν σοὶ δοκεῖ περὶ τῆς ῥητορικῆς, σὺ αὐτὴν τίνα φὴς εἶναι; ΣΩ. Ἆρα ἐρωτᾷς ἥντινα τέχνην φημὶ εἶναι; ΠΩΛ. Ἔγωγε. ΣΩ. Οὐδεμία ἔμοιγε δοκεῖ, ὦ Πῶλε, ὥς γε πρός σε τ᾽ ἀληθῆ εἰρῆσθαι b).



r) Praeeunte Cod. Meerm. vulgatum αὖ mutaui in ἂν, quam particulam Optatiuus πάθοιμι requirit, etiam αὖ *contra* iam inest verbo ἀντίθες.

s) Non dubitaui verbum rarius atque poëticum, cuiusmodi verbis Plato solet libenter uti, μήδει ex Ald. et Bas. 1. recipere pro κήδει s. κήδῃ, quod est in reliquis libris editis, etiam in Cod. vtroque seruatum erat, quodque sine dubitatione pro glossemate agnosci debet. In Cod. Meerm. κήδῃ habebat ab alia manu superscriptum φροντίζεις. Caeterum retinui formam Atticam, et scripsi μήδει pro μήδῃ.

t) Cod. vterque, Bas. 2. σαυτὸν. Ald. Bas. 1. σὲ αὐτόν.

a) Cod. Aug. ἀπόκρινε. inepte.

b) Bas. 2. ἐρῆσθαι. mendose.